ἔσπειρεν αὐτὸν ἐπὶ τὸ ὕδωρ καὶ ἐπότισεν αὐτὸ τοὺς υἱοὺς Ισραηλ.
21 καὶ εἶπεν Μωυσῆς τῷ Ααρων Τί ἐποίησέν σοι ὁ λαὸς οὗτος, 21
ὅτι ἐπήγαγες ἐπ᾽ αὐτοὺς ἁμαρτίαν μεγάλην; 22 καὶ εἶπεν Ααρων 22
πρὸς Μωυσῆν Μὴ ὀργίζου, κύριε· σὺ γὰρ οἶδας τὸ ὅρμημα τοῦ
λαοῦ τούτου. 23 λέγουσιν γάρ μοι Ποίησον ἡμῖν θεούς, οἳ προπο- 23
ρεύσονται ἡμῶν· ὁ γὰρ Μωυσῆς οὗτος ὁ ἄνθρωπος, ὃς ἐξήγαγεν
ἡμᾶς ἐξ Αἰγύπτου, οὐκ οἴδαμεν, τί γέγονεν αὐτῷ. 24 καὶ εἶπα αὐ- 24
τοῖς Εἴ τινι ὑπάρχει χρυσία, περιέλεσθε. καὶ ἔδωκάν μοι· καὶ ἔρ-
ριψα εἰς τὸ πῦρ, καὶ ἐξῆλθεν ὁ μόσχος οὗτος. 25 καὶ ἰδὼν Μωυσῆς 25
τὸν λαὸν ὅτι διεσκέδασται — διεσκέδασεν γὰρ αὐτοὺς Ααρων, ἐπί-
χαρμα τοῖς ὑπεναντίοις αὐτῶν —, 26 ἔστη δὲ Μωυσῆς ἐπὶ τῆς πύ- 26
λης τῆς παρεμβολῆς καὶ εἶπεν Τίς πρὸς κύριον; ἴτω πρός με.
συνῆλθον οὖν πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Λευι. 27 καὶ λέγει αὐτοῖς 27
Τάδε λέγει κύριος ὁ θεὸς Ισραηλ Θέσθε ἕκαστος τὴν ἑαυτοῦ ῥομ-
φαίαν ἐπὶ τὸν μηρὸν καὶ διέλθατε καὶ ἀνακάμψατε ἀπὸ πύλης ἐπὶ
πύλην διὰ τῆς παρεμβολῆς καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν
αὐτοῦ καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἔγγιστα
αὐτοῦ. 28 καὶ ἐποίησαν οἱ υἱοὶ Λευι καθὰ ἐλάλησεν αὐτοῖς Μωυσῆς, 28
καὶ ἔπεσαν ἐκ τοῦ λαοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τρισχιλίους ἄν-
δρας. 29 καὶ εἶπεν αὐτοῖς Μωυσῆς Ἐπληρώσατε τὰς χεῖρας ὑμῶν 29
σήμερον κυρίῳ, ἕκαστος ἐν τῷ υἱῷ ἢ τῷ ἀδελφῷ, δοθῆναι ἐφ᾽
ὑμᾶς εὐλογίαν.

30 Καὶ ἐγένετο μετὰ τὴν αὔριον εἶπεν Μωυσῆς πρὸς τὸν λαόν 30
Ὑμεῖς ἡμαρτήκατε ἁμαρτίαν μεγάλην· καὶ νῦν ἀναβήσομαι πρὸς
τὸν θεόν, ἵνα ἐξιλάσωμαι περὶ τῆς ἁμαρτίας ὑμῶν. 31 ὑπέστρεψεν 31
δὲ Μωυσῆς πρὸς κύριον καὶ εἶπεν Δέομαι, κύριε· ἡμάρτηκεν ὁ
λαὸς οὗτος ἁμαρτίαν μεγάλην καὶ ἐποίησαν ἑαυτοῖς θεοὺς χρυ-
σοῦς. 32 καὶ νῦν εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, 32
ἐξάλειψόν με ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας. 33 καὶ εἶπεν κύριος 33
πρὸς Μωυσῆν Εἴ τις ἡμάρτηκεν ἐνώπιόν μου, ἐξαλείψω αὐτὸν ἐκ
τῆς βίβλου μου. 34 νυνὶ δὲ βάδιζε κατάβηθι καὶ ὁδήγησον τὸν λαὸν 34
τοῦτον εἰς τὸν τόπον, ὃν εἶπά σοι· ἰδοὺ ὁ ἄγγελός μου προπο-
ρεύεται πρὸ προσώπου σου· ᾗ δ᾽ ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω
ἐπ᾽ αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν. 35 καὶ ἐπάταξεν κύριος τὸν λαὸν 35
περὶ τῆς ποιήσεως τοῦ μόσχου, οὗ ἐποίησεν Ααρων.

20 επι] υπο B* || 21 τω] προς A || 22 μη] pr. λεγων A† || 23 εξ] εκ της A || 24 ει > A || 26 συνηλθοσαν A | προς αυτον > B* || 27 λεγει 1⁰] ειπεν A | εαυτου ρομφ.] tr. A | αυτου 1⁰ ⌒ 2⁰ B† || 28 εν > A | εκεινη / τη ημ.] tr. A || 29 κυριω] pr. τω A | η] και εν A (και in *O* sub ※) || 30 ειπεν] pr. και A || 31 επεστρεψεν A || 32 αμαρτ.] + αυτων B (in *O* sub ※) | με] καμε A || 33 ενωπ. (ε)μου > B*† | αυτον] -τους B || 34 νυνι] συ B*† | καταβηθι > A | προπορευσεται A || 35 ου] ον A